Ἐν ἀρχῇ ἦν ὁ λόγος· καὶ ὁ λόγος ἦν πρὸς τὸν
θν̄· καὶ θς̄ ἦν ὁ λόγος· οὗτος ἦν ἐν ἀρχῇ
πρὸς τὸν θν̄· πάντα δι' αὐτοῦ ἐγένετο· καὶ
χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν· ὃ γέγονεν· ἐ
ν αὐτῷ ζωὴ ἦν· καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀν
θρώπων· καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει· καὶ ἡ σ
κοτία αὐτὸ οὐ κατέλαβεν· Ἐγένετο ἄνθρωπος
ἀπεσταλμένος παρὰ θῦ· ὄνομα αὐτῷ Ἰωάννης·
Οὗτος ἦλθεν εἰς μαρτυρίαν· ἵνα μαρτυρήσῃ πε
ρὶ τοῦ φωτός· ἵνα πάντες πιστεύσωσιν δι' αὐτοῦ
οὐκ ἦν ἐκεῖνος τὸ φῶς· ἀλλ' ἵνα μαρτυρήσῃ περὶ τοῦ
φωτός· Ἦν τὸ φῶς τὸ ἀληθινόν· ὃ φω
τίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον·
ἐν τῷ κόσμῳ ἦν· καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο· καὶ
ὁ κόσμος αὐτὸν οὐκ ἔγνω· Εἰς τὰ ἴδια ἦλ
θε· καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον· ὅσοι δὲ
ἔλαβον αὐτόν· ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα
θῦ γενέσθαι· τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐ
τοῦ· οἳ οὐκ ἐξ αἱμάτων· οὐδὲ ἐκ θελήματος
σαρκός· οὐδὲ ἐκ θελήματος ἀνδρός· ἀλλ' ἐκ θῦ
ἐγεννήθησαν· Καὶ ὁ λόγος σὰρξ ἐγένε
το· καὶ ἐσκήνωσεν ἐν ἡμῖν· καὶ ἐθεασάμεθα τὴν δό
ξαν αὐτοῦ· δόξαν ὡς μονογενοῦς παρὰ πρς̄· πλή
ρης χάριτος καὶ ἀληθείας·